ἆ ἆ·
τί δῆτα μέλλετ᾽; ἐξακρίζετ᾽ αἰθέρα
πτεροῖς· τὰ Φοίβου δ᾽ αἰτιᾶσθε θέσφατα.

ἔα·
τί χρῆμ᾽ ἀλύω, πνεῦμ᾽ ἀνεὶς ἐκ πνευμόνων;
ποῖ ποῖ ποθ᾽ ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν᾽ ὁρῶ.
σύγγονε, τί κλαίεις κρᾶτα θεῖσ᾽ ἔσω πέπλων;
αἰσχύνομαί σε, μεταδιδοὺς πόνων ἐμῶν
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ᾽, εἴργασται δ᾽ ἐμοὶ
μητρῷον αἷμα· Λοξίᾳ δὲ μέμφομαι,
ὅστις μ᾽ ἐπάρας ἔργον ἀνοσιώτατον,
τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ᾽ ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμόν, εἰ κατ᾽ ὄμματα
ἐξιστόρουν νιν, μητέρ᾽ εἰ κτεῖναι χρεών,
πολλὰς γενείου τοῦδ᾽ ἂν ἐκτεῖναι λιτὰς
μήπω τεκούσης ἐς σφαγὰς ὦσαι ξίφος,
εἰ μήτ᾽ ἐκεῖνος ἀναλαβεῖν ἔμελλε φῶς,